τούτων. τί προσέχειν δεῖ c' ἐμοί; φρονεῖc ἐμοῦ
βέλτιον εἰκότωc.

(Cμ.) cὺ νυνί μοι δοκεῖc
λέγειν ὁμοῦ τι· "μὴ πάρεχέ μοι πράγματα." 210
τοιουτότροπόν τι. μανθάνω. τούτων τινὰ
ὀπτέον ἂν εἴη πρὸc ἀγορὰν ἐλθόντι μοι,
εἰ μή τιc ἔνδον ἐcτίν.

Δα. οὐδείc.—ὦ Τύχη,
οἵωι μ' ἀφ' οἵου δεcπότου παρεγγυᾶν
μέλλειc. τί c' ἠδίκηκα τηλικοῦτ' ἐγώ; 215

ΜΑΓΕΙΡΟC

ἂν καὶ λάβω ποτ' ἔργον, ἢ τέθνηκέ τιc,
εἶτ' ἀποτρέχειν δεῖ μιcθὸν οὐκ ἔχοντά με,
ἢ τέτοκε τῶν ἔνδον κυοῦcά τιc λάθραι,
εἶτ' οὐκέτι θύουc' ἐξαπίνηc, ἀλλ' οἴχομαι
ἀπιὼν ἐγώ. τῆc δυcποτμίαc.

Δα. πρὸc τῶν θεῶν, 220
μάγειρ', ἄπελθε.

(Μα.) νῦν δέ ⟨coι⟩ τί δοκῶ ποεῖν;
λαβὲ τὰc μαχαίραc, παιδάριον, θᾶττόν ποτε.
δραχμῶν τριῶν ἦλθον δι' ἡμερῶν δέκα
ἔργον λαβών· ὤιμην ἔχειν ταύταc· νεκρὸc
ἐλθών τιc ἐκ Λυκίαc ἀφήιρηται βίαι 225
ταύταc. τοιούτου cυμβεβηκότοc κακοῦ
τοῖc ἔνδον, ἱερόcυλε, κλαούcαc ὁρῶν
καὶ κοπτομένας γυναῖκαc ἐκφέρειc κενὴν
τὴν λήκυθον; μέμνηco καιρὸν παραλαβὼν
τοιοῦτον. οὐ Cπινθῆρ', Ἀριcτείδην δ' ἔχω, 230
ὑπηρέτην δίκαιον· ὄψομαί c' ἐγὼ
ἄδειπνον. ὁ δὲ τραπεζοποιὸc καταμενεῖ
εἰc τὸ περίδειπνον τυχὸν ἴcωc.